# 07 NOIEMBRIE

# SLUJBA SF.MUCENITE TESALONICA DE LA AMFIPOLE-MACEDONIA

# MINEIUL-GR



# 07 ΝΟΕΜΒΡΙΟΣ
# ΘΕΣΣΑΛΟΝΙΚΗ ΜΑΡΤΥΣ
# ΑΚΟΛΟΥΘΙΑ

*(Γερασίμου μοναχοῦ Μικραγιαννανίτου)*

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ’ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος α’. Πανεύφημοι Μάρτυρες.

Φωτὶ λαμπρυνθεῖσα θεϊκῷ, πατρικὴν δυσσέβειαν, οἷάπερ σκότος κατέλιπες, καὶ νύμφη ἄφθορος, τοῦ Χριστοῦ ἐδείχθης, ὑπὲρ οὗ καὶ ἤθλησας, σεμνὴ Θεσσαλονίκη στεῤῥότατα· διὸ δεδόξασαι, ἀφθαρσίας διαδήματι, καὶ πρεσβεύεις, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Πατρὸς ἐνεγκοῦσα τὸν θυμόν, ἀκλινεῖ φρονήματι, Θεσσαλονίκη πανθαύμαστε, σαρκὸς τὴν γύμνωσιν, ἔφερες ἀνδρείως, καὶ πληγὰς καὶ μάστιγας, καὶ χαίρουσα Χριστῷ ἀνελήλυθας, καλῶς τελέσασα, τὸν ἀγῶνα τῆς ἀθλήσεως, καὶ πρεσβεύεις, ὑπὲρ τῶν τιμώντων σε.

Σὺν σοὶ ἠγωνίσαντον στεῤῥῶς, τῇ ῥοπῇ τῇ ἄνωθεν, Θεσσαλονίκη θεόσοφε, οἱ θεῖοι Μάρτυρες, Αὗκτος καὶ Ταυρίων, καὶ Χριστὸν ἐδόξασαν· μεθ’ ὧν τῆς ἄνω

δόξης μετέχουσα, ὁμοῦ πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

*Ἕτερα. Ἦχος δ΄. Ἔδωκας σημείωσιν.*

Πᾶσαν καταλέλοιπας, τὴν τοῦ πατρὸς περηφάνειαν, καὶ τῆς πλάνης τὴν ζόφωσιν, καὶ Χριστοῦ προσέδραμες, τῷ φωτὶ προθύμως, ἔρωτι τρωθεῖσα, τούτου τῷ θείῳ τὴν ψυχήν, Θεσσαλονίκη ἀξιοθαύμαστε· διό σε μακαρίζομεν, ὡς Ἀθληφόρον ἀήττητον, καὶ ἀπαύστως πρεσβεύουσαν, ὑπὲρ τῶν ἀνυμνούντων σε.

Νύμφη ἀδιάφθορος, Θεσσαλονίκη πανεύφημε, τοῦ Χριστοῦ ἐχρημάτισας, παρθενίας κάλλεσι, καθωραϊσμένη, καὶ Μαρτύρων δόξῃ, κεκοσμημένη εὐπρεπῶς, καὶ πρὸς νυμφῶνα τούτου τὸν ἄφθαρτον, ἀνέδραμες τὰ ἔπαθλα, κομιζομένη τῶν πόνων σου, καὶ ἀπαύστως πρεσβεύουσα, ὑπὲρ τῶν ἀνυμνούντων σε.

Σώματος τὴν γύμνωσιν, διὰ Χριστὸν τὸν νυμφίον σου, καὶ πληγὰς ὑπομείνασα, ἔφερες στεῤῥότατα, τὴν ὑπερορίαν, ὦ Θεσσαλονίκη· ὅθεν καὶ Αὖκτος ὁ κλεινός, σὺν τῷ Ταυρίωνι κοινωνήσαντες, τῶν θείων παλαισμάτων σου, μετὰ σοῦ χαίροντες ἤθλησαν, καὶ ὁμοῦ ἠξιώθητε, τῆς ἀλήκτου λαμπρότητος.

*Δόξα. Ἦχος β΄.*

Ὑπεραρθεῖσα τῶν γηΐνων, ὡς ἐδέξω τὴν γνῶσιν τῆς πίστεως, σεαυτὴν τῷ Σωτῆρι ἀνέθηκας, Θεσσαλονίκη θεόφρον, καὶ τῇ ἀγάπῃ Αὐτοῦ, τὴν ζωὴν ῥυθμίζουσα,

πατρικῆς ἠλογήσας σχέσεως, καὶ τῆς εὐσεβείας ἐδέξω τὸ γυμνάσιον, εὐτονωτέρα γὰρ ὤφθης, ἀπειλῶν καὶ ἀλγηδόνων, καὶ κατ’ ἐχθρῶν τὸ κράτος ἐκτήσω, σὺν Αὔκτῳ καὶ Ταυρίωνι, συναθλητὰς γὰρ τούτους ἔσχηκας, ἐν τῷ τῆς ἀθλήσεως σκάμματι· μεθ’ ὧν καὶ δοξασθεῖσα, σὺν αὐτοῖς πρέσβευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου, τῆς χάριτος ἐλθούσης· ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω παρθένος ἔτεκες, καὶ παρθένος ἔμεινας, ἀντὶ στύλου πυρός, δικαιοσύνης ἀνέτειλεν Ἥλιος, ἀντὶ Μωϋσέως Χριστός, ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Παροιμιῶν τὸ Ἀνάγνωσμα. (Κεφ, λα'. 10-31)*

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Θαρσεῖ ἐπ’ αὐτῇ ἡ καρδία τοὺ ἀνδρὸς αὐτῆς, ἡ τοιαύτη καλῶν σκύλων οὐκ ἀπορήσει. Ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ ἀγαθὰ πάντα τὸν βίον. Μηρυομένη ἔρια καὶ λίνον, ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὕτη τὸν βίον. Καὶ ἀνίσταται ἐκ νυκτῶν, καὶ ἔδωκε βρώματα τῷ οἴκῳ, καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς, κατεφύτευσε κτῆμα.

Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὅλην τὴν νύκτα ὁ λύχνος αὐτῆς. Τοὺς πήχεις αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τὰς δὲ χεῖρας αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε  πτωχῷ. Οὐ φροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς, ὅταν πού χρονίζῃ· πάντες γὰρ οἱ παρ’ αὐτῆς ἐνδεδυμένοι βύσσου καὶ πορφύρας ἑαυτῇ ἐνδύματα. Περίβλεπτος δὲ ἐγένετο ὁ ἀνὴρ αὐτῆς ἐν πύλαις, ἡνίκα ἂν καθίσῃ ἐν συνεδρίῳ μετὰ τῶν γερόντων κατοίκων τῆς γῆς. σινδόνας ἐποίησε καὶ ἀπέδοτο τοῖς Φοίνιξι, περιζώματα δὲ τοῖς Χαναναίοις. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο, καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις. Στόμα αὐτῆς διήνοιξε προσεχόντως καὶ ἐννόμως καὶ τάξιν ἐστείλατο τῇ γλώσσῃ αὐτῆς. στεγναὶ διατριβαὶ οἴκων αὐτῆς, σῖτα καὶ νομοθέσμως, ἡ δὲ ἐλεημοσύνη αὐτῆς ἀνέστησε τὰ τέκνα αὐτῆς, καὶ ἐπλούτησας, καὶ ὁ ἀνὴρ αὐτῆς ᾔνεσεν αὐτήν. Πολλαὶ θυγατέρες ἐκτήσαντο πλοῦτον, πολλαὶ ἐποίησαν δύναμιν, σὺ δὲ ὑπέρκεισαι καὶ ὑπερῆρας πάσας. Ψευδεῖς ἀρέσκειαι καὶ μάταιον κάλλος γυναικός· γυνὴ γὰρ συνετὴ εὐλογεῖται, φόβον δὲ Κυρίου αὕτη αἰνείτω. Δότε αὐτῇ ἀπὸ καρπῶν χειλέων αὐτῆς καὶ αἰνείσθω ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς.

*Παροιμιῶν τὸ Ἀνάγνωσμα. (Κεφ, ιδ'. 1-8, 24-27)*
Σοφαὶ γυναῖκες ᾠκοδόμησαν οἴκους, ἡ δὲ ἄφρων κατέσκαψε ταῖς χερσὶν αὐτῆς. ὁ πορευόμενος ὀρθῶς φοβεῖται τὸν Κύριον, ὁ δὲ σκολιάζων ταῖς ὁδοῖς αὐτοῦ ἀτιμασθήσεται. ἐκ στόματος ἀφρόνων βακτηρία ὕβρεως, χείλη δὲ σοφῶν φυλάσσει αὐτούς. οὗ μὴ εἰσι βόες, φάτναι καθαραί· οὗ δὲ πολλὰ γεννήματα, φανερὰ βοὸς ἰσχύς. μάρτυς πιστὸς οὐ ψεύδεται, ἐκκαίει δὲ ψευδῆ μάρτυς ἄδικος. ζητήσεις σοφίαν παρὰ κακοῖς καὶ οὐχ εὑρήσεις, αἴσθησις δὲ παρὰ φρονίμοις εὐχερής. πάντα ἐναντία ἀνδρὶ ἄφρονι, ὅπλα δὲ αἰσθήσεως χείλη σοφά. σοφία πανούργων ἐπιγνώσεται τὰς ὁδοὺς αὐτῶν, ἄνοια δὲ ἀφρόνων ἐν πλάνῃ. στέφανος σοφῶν πλοῦτος αὐτῶν, ἡ δὲ διατριβὴ ἀφρόνων κακή. ρύσεται ἐκ κακῶν ψυχὴν μάρτυς πιστός, ἐκκαίει δὲ ψεύδη δόλιος. ἐν φόβῳ Κυρίου ἐλπὶς ἰσχύος, τοῖς δὲ τέκνοις αὐτοῦ καταλείπει ἔρεισμα. πρόσταγμα Κυρίου πηγὴ ζωῆς, ποιεῖ δὲ ἐκκλίνειν ἐκ παγίδος θανάτου.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα. (Κεφ. ζ'.7)*
Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ

φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α΄.*

Τῆς ἀληθείας τὴν χάριν, ἐνδεδυμένη σεμνή, τὴν τοῦ ψεύδους ἀπεβάλου πλάνην, καὶ τῶν γεηρῶν ἐβδελύξω τὸν πόθον, ὅλῃ ψυχῇ Χριστῷ προσελθοῦσα, καὶ τὰ στίγματα Αὐτοῦ, τῇ σαρκί σου βαστάσασα, ἀθλητικῶν χαρίτων σκεῦος ὤφθης, ὑπὲρ αὐτοῦ καλῶς ἀθλήσασα· ἀλλ' ὦ Θεσσαλονίκη μακαρία, τῆς αἰωνίου μακαριότητος μέτοχε, καὶ τῆς ἀφράστου δόξης κοινωνέ, ἀδιαλείπτως ἱκέτευε, σῴζεσθαι τοὺς σὲ μακαρίζοντας.

*Ἦχος β΄.*

Γυναικείαν ἀποῤῥίψασα ἀσθένειαν, πρὸς μαρτυρικοὺς ἀπεδύσω ἀγῶνας, ἀνδρειοτάτῃ ψυχῇ, Θεσσαλονίκη θεόληπτε, πατρικῆς γὰρ ἀσεβείας, ἀπεκρούσω τὴν ὁρμήν, ἐρηρεισμένη τῇ Χριστοῦ ἀγαπήσει, καὶ ἀνωτέρα ποινῶν καὶ μαστίγων ὀφθεῖσα, τοῖς πᾶσιν ὑπέδειξας, τὴν ἐν σοὶ λαμπρότητα· ὅθεν Χριστὸς δεδόξασται, τοῖς στεῤῥοῖς σου ἄθλοις, καὶ ὁ

τὴν Εὕαν πτερνίσας ὄφις, πέπτωκεν ἡττηθείς, πιστῶν δὲ συστήματα ἑορτάζουσι τὴν μνήμην σου.

*Ἦχος γ΄.*

Νυμφευθῆναι ἐλομένη τῷ Χριστῷ, τὴν τῶν προσηκόντων κοινωνίαν ἠρνήσω, τὰ ἄνω ποθοῦσα καὶ ζητοῦσα, Θεσσαλονίκη παμμακάριστε, καὶ μαρτυρικοῖς ὡραιωθεῖσα ἀγῶσι, καὶ ἐξορίας ἐνεγκοῦσαν τὴν κάκωσιν, λαμπαδηφόρος ἀνέδραμες, πρὸς τὸν νυμφῶνα τῆς ζωῆς, οἷα παρθένος ἐκλεκτή, καὶ Μάρτυς ἀήττητος. Καὶ νῦν τοῦ σοῦ νυμφίου Χριστοῦ, τὸ κάλλος ὁρῶσα, δυσμορφίας παθῶν λύτρωσαι, τοὺς γεραίροντας τοὺς ἄθλους σου.

*Δόξα. Ἦχος δ΄.*

Τὴν τριστέλεχον τῶν Μαρτύρων χορείαν, Θεσσαλονίκην τὴν θεόφρονα, σὺν Αὔκτῳ καὶ Ταυρίωνι, μαρτυρικοῖς ἐπαίνοις καὶ ᾄσμασιν, εὐσεβῶς ἀναδήσωμεν, ἐν μιᾷ γὰρ καρδίᾳ νουνεχῶς βουλευσάμενοι, τὸ τῆς ἀθλήσεως ὑπῆλθον στάδιον, καὶ τῆς εὐσεβείας τὸ μέγα μυστήριον, εὐθαρσῶς κηρύξαντες, ἐπαξίων ἐπάθλων, παρὰ τοῦ ἀθλοθέτου Σωτῆρος, ἐν οὐρανοῖς ἠξιώθησαν· ᾧ καὶ πρεσβεύουσιν ἐν παῤῥησίᾳ, δοῦναι ἡμῖν ἱλασμὸν πταισμάτων, καὶ πάσης ἀνάγκης, καὶ περιστάσεως λύτρωσιν.

*Καὶ νῦν. Θεοτοκίον*

Νεῦσον παρακλήσει σῶν οἰκετῶν Πανάμωμε, παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις, πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα· σὲ γὰρ μόνην ἀσφαλῆ, καὶ

βεβαίαν ἄγκυραν ἔχομεν, καὶ τὴν σὴν προστασίαν κεκτήμεθα. Μὴ αἰσχυνθῶμεν Δέσποινα, σὲ προσκαλούμενοι, σπεῦσον είς ἱκεσίαν, τῶν σοὶ πιστῶς βοώντων· Χαῖρε Δέσποινα, ἡ πάντων βοήθεια, χαρὰ καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

*Είς τὸν Στίχον. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.*

Ὅτε, ἐν ταῖς αὔλαξι σεμνή, τῆς ψυχῆς ἐδέξω τὸν σπόρον, τῆς θείας πίστεως, τότε ἀναβλάστησας καρπὸν ἡδύτατον, εὐσεβείας λαμπρότητα, καὶ οἷα εὐώδη, ἄνθη τῆς ἀθλήσεως, τὰ κατορθώματα· ὅθεν, ὡς Χριστοῦ Ἀθληφόρον, σὲ Θεσσαλονίκη τιμῶμεν, τὴν σὴν ἐκδεχόμενοι ἀντίληψιν.

Στ.: *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.*

Ὅτε, ὁ τοκεύς σου ἀπηνῶς, συνεχόμενος ζόφῳ, σὲ κατῃκίζετο, τότε ὡς ἀσώματος, τὰς τῶν βουνεύρων πληγάς, καὶ ξεσμοὺς τοὺς τοῦ σώματος, ὑπέστης ἀνδρείως, τὸν Χριστὸν δοξάζουσα, Θεσσαλονίκη σεμνή· ὅθεν, τὸν ἐχθρὸν καθελοῦσα, ἐκ τῆς χαλεπῆς ἐξορίας, πρὸς Χριστοῦ τὸ φῶς χαίρουσα ἔδραμες.

Στ.: *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.*

Αὔκτος καὶ Ταυρίων οἱ στεῤῥοί, ἀδελφὰ φρονοῦντές σοι Μάρτυς σὺν σοὶ ἐνήθλησαν, καὶ Χριστὸν ἐδόξασαν Θεσσαλονίκη σεμνή, μεθ’ ὧν νῦν ἀπολαύουσα, τῆς ἄνω εὐκλείας, σὺν αὐτοῖς ἱκέτευε, τὸν πάντων Κύριον,

δοῦναι ἱλασμὸν καὶ εἰρήνην, καὶ παθῶν παντοίων τὴν λύσιν, τοῖς ὑμᾶς συμφώνως μακαρίζουσι.

*Δόξα. Ἦχος πλ. δ΄.*

Μαρτυρικῇ ἐνστάσει, τὴν φυσικὴν ὑπεριδοῦσα ἀσθένειαν, ἀθλητικῶς ἠνδραγάθησας, Θεσσαλονίκη παμμακάριστε, τὸν γὰρ ἀρχαῖον πτερνιστήν, τοῖς σοῖς ποσὶ κατεπάτησας, ἐν πολλῇ φρονήσει καὶ ἀνδρείᾳ ψυχῆς, καὶ τὸν δρόμον τελέσασα, τὸν καρπὸν τῆς ζωῆς, ἐπιτηδείας ἐδρέψω, θεωθεῖσα κατὰ μέθεξιν. Καὶ νῦν σὺν τοῖς συνάθλοις, Αὔκτῳ καὶ Ταυρίωνι, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Εὐσεβείας τῷ φέγγει τὸν νοῦν λαμπρύνουσα, παρθενομάρτυς θεόφρον, Θεσσαλονίκη σεμνή, ἠγωνίσω ἀνδρικῶς πόνοις ἀθλήσεως, καὶ καθελοῦσα τὸν ἐχθρόν, ἐκομίσω ἐκ Χριστοῦ, τὸ στέφος τῆς ἀφθαρσίας, ἐκδυσωποῦσα ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Δόξα. Τῶν τριῶν. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Χριστοῦ τὴν λαμπρότητα ἐπιποθοῦσα σοφῶς, ἀθλήσει ἐξέλαμψας Θεσσαλονίκη σεμνή, ῥωσθεῖσα τῷ πνεύματι· Αὖκτος δὲ καὶ Ταυρίων, ὡς Χριστοῦ στραιτῶται, ὤφθησαν κοινωνοί σοι, τῶν ἀγώνων καὶ δόξης, μεθ’ ὧν ἀεὶ ἱκέτευε, ὑπὲρ τῶν τιμώντων σε.

*Καὶ νῦν... Θεοτοκίον*

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον· διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος, δι' οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α’ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Τὸν πλοῦτον τὸν φθαρτόν, καὶ εὐμάραντον δόξαν, καὶ σχέσιν τοῦ πατρός, καὶ τὴν πλάνην λιποῦσα, θυγάτηρ περιδέξιος, καὶ ἀμνὰς καλλιπάρθενος, ἐναθλήσασα, Θεσσαλονίκη θεόφρον, ἀναδέδειξαι, τοῦ Βασιλέως τῆς δόξης, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ἀφράστως τὸν Χριστόν, τὸν Θεὸν τῶν ἁπάντων, κυήσασα ἁγνή, ὑπὲρ νοῦν τε καὶ λόγον, τὸν κόσμον

ἐκλυτρούμενον, τῆς ἀρᾶς τοῦ προπάτορος, ἀπολύτρωσαι, τῆς τοῦ ἐχθροῦ τυραννίδος, τὴν καρδίαν μου, καὶ δίδου ταύτῃ Παρθένε, ἀξίαν μετάνοιαν.

*Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Τὴν πλάνην κατέλιπες ἀπεριτρέπτῳ νοΐ, καὶ ἔστης ἀκλόνητος ταῖς τοῦ πατρὸς ἀπειλαῖς, Θεσσαλονίκη ἔνδοξε· ὅθεν ξεσμοὺς καὶ πόνους, σταθερῶς ἐνεγκοῦσα, ἤρθης ἐν εὐφροσύνῃ, πρὸς τὴν ἄπονον λῆξιν, καὶ νῦν τῆς τοῦ Νυμφίου σου, τρυφᾷς ὡραιότητος.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τὸν λόγον τὸν σύνθρονον τοῦ προανάρχου Πατρός, τεκοῦσα ἐν σώματι ἀναλλοιώτως ἁγνή, γενόμενον ἄνθρωπον, ῥῦσαί με ἀλογίας, τῶν παθῶν τῆς κακίας, δίδου δὲ τῇ ψυχῇ μου, κατανύξεως ῥεῖθρον, ὡς ἂν τῆς ἁμαρτίας, ἐκπλύνω τὸν βόρβορον.

*Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος δ΄. Ὁ ὑψωθείς.*

Θεσσαλονίκης τοὺς ἁγίους ἀγῶνας, ἀνευφημήσωμεν πιστῶν αἱ χορεῖαι, καὶ σὺν αὐτῇ συμφώνως μακαρίσωμεν, Αὔκτον καὶ Ταυρίωνα, τοὺς Χριστοῦ στρατιώτας, στράτευμα ὀλέθριον, τοῦ ἐχθροῦ καθελόντας, καὶ γὰρ ὁμοῦ πρεσβεύουσι Χριστῷ, πᾶσι δοθῆναι, πταισμάτων συγχώρησιν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ὡς τὸν Σωτῆρα τῶν ἁπάντων τεκοῦσα, σώσαντα κόσμον τῆς ἀρχαίας κατάρας, Θεογεννῆτορ Κόρη ἀειπάρθενε, τοῦτον καθικέτευε, μητρικῇ παῤῥησίᾳ, ῥύεσθαι τοῦ ὄφεως, τῶν πικρῶν σοφισμάτων, καὶ τῶν ἐν βίῳ θλίψεων ἀεί, τοὺς ἀνυμνοῦντας, τὴν δόξαν Σου ἄχραντε.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α' Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.*

Στ.: *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.*

Εὐαγγέλιον, Μαρτυρικόν.

Ὁ Ν' ψαλμός.

Δόξα: *Ταῖς τῆς Ἀθληφόρου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Τῆς τῶν φθαρτῶν εὐκληρίας σαύτὴν μακρύνασα, τῆς τοῦ Χριστοῦ Βασιλείας, κοινωνὸς ἐγένου, ἀθλητικῶς ἀριστεύσασα, Θεσσαλονίκη πανεύφημε, τοῦ γὰρ πόθου τὴν πλήρωσιν εὕρηκας, μυστικῶς Χριστῷ συναφθεῖσα, ἐν τῷ νυμφῶνι τῆς ἀλήκτου ζωῆς. πρέσβευε δεόμεθα μακαρία, σώζεσθαι τοὺς σὲ μακαρίζοντας.

Εἶτα, οἱ Κανόνες· τῆς Θεοτόκου, καὶ τῆς Ἁγίας οὗ ἡ ἀκροστιχίς: *Θεσσαλονίκῃ, μέλισμα πλέκω. Γερασίμου.*

*ᾨδὴ α'. Ἦχος πλ. α'. Ἵππον καὶ ἀναβάτην.*

Θείῳ αὐγαζομένη, Θεσσαλονίκη φωτί, τὴν ἀχλὺν τοῦ νοός μου διάλυσον πρεσβείαις σου, καὶ λόγον μοι δώρησαι, ἀνυμνῆσαι ᾄσμασι, τὴν ἁγίαν μνήμην σου ἔνδοξε.

Ἔλειπες τὴν πατρῴαν, ἀπάτην ὁλοσχερῶς, τοῦ Χριστοῦ πτερωθεῖσα τῇ ἀγαπήσει πάνσεμνε, καὶ Αὐτοῦ τὸ ὄνομα, εὐθαρσῶς ἐκήρυξας, μαρτυρίου πόνους ἐνέγκασα.

Σώματος οὐκ ἐφείσω, Θεσσαλονίκη τοῦ σοῦ, ἀλλὰ δέδωκας τοῦτο αἰκίζεσθαι ταῖς μάστιξι, διὰ πόθον ἔνθεον, καὶ ἐχθροῦ συνέτριψας, Θεσσαλονίκη τὰ μηχανήματα.

*Θεοτοκίον.*

Σάρκα ἔμψυχον Κόρη, καὶ ἔννουν ἐκ Σοῦ λαβών, ὁ ἀσώματος Λόγος σωματικῶς ὡμίλησε, τῷ κόσμῳ δι' ἔλεος, καὶ ἡμᾶς ἐρρύσατο, ἀλογίας τῆς παραβάσεως.

*ᾨδὴ γ'. Ὁ πήξας ἐπ' οὐδενός.*

Αἰκίας ὀδυνηράς, πληγάς τε καὶ μάστιγας, ὁ γεννήτωρ Μάρτυς ὁ σὸς προσῆγέ σοι, ἀλλ' ἐνατενίζουσα Χριστῷ, ἔφερες ἀνενδότως, Θεσσαλονίκη τὰ ἐπίπονα, ἐνδυναμουμένη τῷ πνεύματι.

Λαμπρύνασα τὴν ψυχήν, ἀκτῖσι τῆς χάριτος, ἀπροσκόπτως ὥδευσας τὴν εἰσάγουσαν, πρὸς τὴν Βασιλείαν οὐρανῶν, τρίβον τοῦ μαρτυρίου, Θεσσαλονίκη καὶ ἐσκήνωσας, ἔνθα φῶς ὑπάρχει τὸ ἄδυτον.

Ὁ νοῦς σου καταυγασθείς, ἀγάπῃ τῇ κρείττονι, κοσμικὴν κατέλιπεν ἀμαυρότητα· ἔνθεν ἠγωνίσω ἀνδρικῶς, κατὰ τῆς δυσσεβείας, Θεσσαλονίκη καὶ νενίκηκας, τὰ τοῦ πονηροῦ μηχανήματα.

*Θεοτοκίον.*

Νεκρόν με τοῦ πονηροῦ, ἡ πλάνη εἰργάσατο, γεύσει τῆς ἁμαρτίας νοΐ ἀγνώμονι· ἀλλ' ὡς Μήτηρ οὖσα τῆς ζωῆς, ἔγειρον τὴν ψυχήν μου, Θεογεννῆτορ πανάχραντε, ἵνα κατὰ χρέος δοξάζω Σε.

*Κάθισμα. Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.*

Γυναικείᾳ ἐν φύσει τὸν ἐπαιρόμενον, καθ' ἡμῶν πολυτρόπως Θεσσαλονίκη σεμνή, κατηκόντισας ἐχθρὸν πόνοις ἀθλήσεως, ὅτι στεῤῥότητι πολλῇ, καὶ ἀνδρείᾳ ψυχικῇ, διήνυσας τοὺς ἀγῶνας, καὶ κληρονόμος ἐγένου, τῆς ἐν Χριστῷ μακαριότητος.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Σαρκωθεὶς Θεοτόκε ἐκ τῶν αἱμάτων Σου, ὁ ὑπερούσιος Λόγος τοῦ προανάρχου Πατρός, τὴν φθαρεῖσαν τῶν βροτῶν φύσιν ἐκαίνισε, καὶ ἐπανήγαγεν ἡμᾶς, πρὸς τὴν ἀρχαίαν καλλονήν, ὁ μόνος παντελεήμων· διό Σε δοξολογοῦμεν, ὡς σωτηρίας ἡμῶν πρόξενον.

*ᾨδὴ δ'. Τὴν θείαν ἐννοήσας σου.*

Ἰδὼν τῆς σῆς ψυχῆς τὸ ἀνένδοτον, ὁ σὸς γεννήτωρ χαλεπῇ, ὑπερορίᾳ ἐκπέμπει σε, Θεσσαλονίκη θεόφρον, ἐν ᾗ τὸν σὸν ἀγῶνα ἐτέλεσας.

Καθεῖλες τοῦ βελίαρ τὸ φρύαγμα, ξεσμοὺς ἐνέγκασα στεῤῥῶς, καὶ μαστιγώσεις τοῦ σώματος, ὥσπερ ἀσώματος Μάρτυς, τῷ πόθῳ τετρωμένη τοῦ κτίσαντος.

Ἡ νύμφη τοῦ Χριστοῦ ἡ περίδοξος, Θεσσαλονίκη ἡ σεμνή, ἡ ἀνδρικῶς ἀριστεύσασα, ἀνευφημείσθω συμφώνως, σὺν Αὔκτῳ καὶ τῷ θείῳ Ταυρίωνι.

*Θεοτοκίον.*

Μαρία Θεοτόκε πανάχραντε, τὴν μολυνθεῖσάν μου ψυχήν, τοῖς λοισμοῖς τοῦ ἀλάστορος, πλῦνον τῇ Σῇ εὐσπλαγχνίᾳ, καὶ δεῖξόν με χιόνος λευκότερον.

*ᾨδὴ ε'. Ὁ ἀναβαλλόμενος.*

Ἔχουσα τὴν δύναμιν, τὴν τοῦ Νυμφίου σου, ἐνδυναμοῦσαν τὸ ἀσθενές σου, ἀνδρικὰ διήνυσας, Μάρτυς Ἀθληφόρε, ὑπερφυῶς παλαίσματα.

Λάμψεσι τοῦ πνεύματος, σκότος παρέδραμες, Θεσσαλονίκ τῶν ἀλγηδόνων, καὶ πρὸς φῶς ἀνέδραμες, κατηγλαϊσμένη, θεόφρον τοῦ Νυμφίου σου.

Ἴσχυσαν φιλάνθρωπε, πάσας τοῦ δράκοντος, καταπαλαῖσαι μηχανουργίας, σθένει σου ῥωννύμενοι, ἡ Θεσσαλονίκη, σὺν Αὔκτῳ καὶ Ταυρίωνι.

*Θεοτοκίον.*

Σῶσόν με πανάμωμε, τῆς τοῦ ἀλάστορος, δεινῆς μανίας καὶ κακουργίας, καὶ τὸν νοῦν μου φώτισον, τὸν ἐσκοτισμένον, ποιεῖν Χριστοῦ τὸ θέλημα.

*Ὠδὴ στ᾽. Μαινομένην κλύδωνι.*

Μαινομένην ᾔσχυνας, τοῦ πατρός σου ἄσχετον ὁρμήν, καὶ Χριστοῦ τὸ ὄνομα ἐκήρυξας, γνώμῃ στεῤῥᾷ, Θεσσαλονίκη πανθαύμαστε.

Αἵμασιν ἐφοίνιξας, τῆς ψυχῆς σου Μάρτυς τὴν στολήν, καὶ καθάπερ νύμφη προσενήνεξαι, περιφανής, Χριστῷ νομίμως ἀθλήσασα.

Πόνοις τῆς ἀθλήσεως, πρὸς τὴν ἄνω ἄπονον ζωήν, Αὔκτος καὶ Ταυρίων μετηνέχθησαν, Θεσσαλονίκη γηθόμενοι.

*Θεοτοκίον.*

Λῦσον τῶν πταισμάτων μου, Θεοτόκε ζόφον χαλεπόν, καὶ πρὸς μετανοίας φῶς με ἴθυνον, ὡς ἂν ἐχθροῦ, ἐκφύγω πᾶσαν ἐπήρειαν.

*Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.*

Ἐν ἀθλήσει σήμερον, μεγαλυνθεῖσα, πρὸς Χριστὸν ἀνέδραμες, Θεσσαλονίκη ἐν χαρᾷ, καὶ ἀφθαρσίας τὸν στέφανον, παρὰ Κυρίου ἀξίως ἀπείληφας.

*Ὁ Οἶκος.*

Ἐξ ἀκανθώδους ῥίζης φυεῖσα, ὡς ἄνθος πανευῶδες Ἁγία, τὴν πατρικὴν ἀσέβειαν ἐμίσησας, καὶ εὐσεβείας

τῷ φωτὶ προσεπέλασας, ἀποστᾶσα γεηρῶν, φρονημάτων καὶ παθῶν, καὶ τοῦ Νυμφίου Χριστοῦ πτερωθεῖσα τῷ ἔρωτι, ὅλον τὸν πόθον καὶ τὴν ῥοπὴν τοῦ νοός, πρὸς αὐτὸν ἀνέτεινας, καὶ τὴν κατὰ σοῦ τοῦ πατρὸς μανίαν, ὡς ὄναρ λελόγισαι, ἀῤῥενωθεῖσα τῷ φρονήματι, τῇ ἑνώσει τοῦ κρείττονος, καὶ ξεσμῶν ἀλγηδόνας, καὶ ἐξορίαν ὑποστᾶσα, τὸν τῆς ἀθλήσεως ἀγῶνα νομίμως διήνυσας, Θεσσαλονίκη σεμνή, καὶ ἀφθαρσίας τὸν στέφανον, παρὰ Κυρίου ἀξίως ἀπείληφας.

*Συναξάριον*

Τῇ Ζ' τοῦ αὐτοῦ μηνός, Μνήμη τῶν Ἁγίων Μαρτύρων Αὔκτου, Ταυρίωνος, καὶ Θεσσαλονίκης.

*Ἐφεῦρον Αὔκτος, Ταυρίων εὐκτὸν τέλος,*
*Ξίφει τμηθέντες, οἷα ταῦροι Κυρίου.*
*Φυγὴν κατακριθεῖσα πατρῴου πέδου,*
*Πέδον χλόης ᾤκησε Θεσσαλονίκη.*

*ᾨδὴ ζ'. Ὁ ὑπερυψούμενος.*

Ἔφερες τὴν γύμνωσιν, ὥσπερ ἄλλου πάσχοντος, στολὴν ἐνεδύσω δέ, ἀφθαρσίας πάμφωτον, ψάλλουσα Θεσσαλονίκη· ὁ Θεὸς εὐλογητὸς εἶ.

Κόσμος ὡραιότατος, τῶν Μαρτύρων πέφηνας, ἐχθρὸν δὲ ἐνέδυσας, αἰσχύνην αἰώνιον, τῇ γυμνώσει τῆς σαρκός σου, ἣν ὑπέστης μακαρία.

Ὡς λυχνία τρίφωτος, φαίνετε τοῖς πέρασι, Τριάδος τὴν ἔλλαμψιν, Αὔκτε σὺν Ταυρίωνι, καὶ σεμνὴ Θεσσαλονίκη, Μάρτυρες στεφανηφόροι.

*Θεοτοκίον.*

Γέγονεν ὁ τόκος Σου, τῆς φθορᾶς ἀναίρεσις, ζωῆς αἰωνίου δέ, καὶ χαρᾶς τῆς κρείττονος, πηγὴ ἄληκτος Παρθένε, τοῖς πιστῶς Σε ἀνυμνοῦσι.

*ᾨδὴ η᾽. Σοὶ τῷ παντουργῷ.*

Ἔσχες ἐν ψυχῇ, τὸ πῦρ τὸ ζωηφόρον, καὶ ἔφλεξας ἄνθραξι, τῆς σῆς ἀθλήσεως, πλάνην πατρώαν, Θεσσαλονίκη Μάρτυς, ἀνυμνολογοῦσα, Χριστὸν τὸν ζωοδότην.

Ῥώμῃ θεϊκῇ, τὴν συντριβὴν τῶν πλευρῶν σου, ἀνδρείως ὑπέμεινας, Μάρτυς ἀήττητε, καὶ τῶν εἰδώλων, συνέτριψας τὴν πλάνην, τῇ μαρτυρικῇ σου, ἐνστάσει μακαρία.

Αἴγλῃ θεϊκῇ, τῆς ἀρχικῆς Τριάδος, οἱ τρεῖς διαλάμπουσι, τῷ κόσμῳ Μάρτυρες, Θεσσαλονίκη, καὶ Αὔκτος καὶ Ταυρίων, καὶ τῶν παθημάτων, σκεδάζουσι τὴν νύκτα.

*Θεοτοκίον.*

Σύντριψον ἁγνὴ, ἐχθροῦ τὰς μηχανίας, δι᾽ ὧν ἐπεμβαίνει μοι, καταμολύνων με, καὶ τῆς ἀπάτης, αὐτοῦ ἀπάλλαξόν με, ἵνα Σε δοξάζω, ὑπερδεδοξασμένη.

*ᾨδὴ θ΄. Ἠσαΐα χόρευε.*

Ἵνα τῆς λαμπρότητος, ἐπιτύχῃς τῆς ἐν οὐρανοῖς, ἀπάσης τῆς ἐπὶ γῆς, δόξης καὶ τρυφῆς, ἐμφρόνως ἠλόγησας, καὶ τῷ Σωτῆρι μαρτυρικῶς, προσήχθης πάνσεμνε, ὥσπερ θῦμα εὐωδέστατον.

Μόνον ἀγαπήσασα, τὸν Νυμφίον Μάρτυς τῶν ψυχῶν, τοῖς ἴχνεσιν ἑαυτοῦ, ἄθλοις ἱεροῖς, στεῤῥῶς ἠκολούθησας, Θεσσαλονίκη πόθῳ θερμῷ, καὶ τῆς λαμπρότητος, τῆς αὐτοῦ γέγονας μέτοχος.

Οἱ γενναῖοι Μάρτυρες, τοῦ Σωτῆρος καὶ πανευκλεεῖς, Ταυρίων καὶ σὺν αὐτῷ, Αὖκτος ὁ στεῤῥός, ὁμοῦ καὶ ἡ πάνσεμνος, Θεσσαλονίκη καὶ θαυμαστή, νῦν συντιμάσθωσαν, ὡς ἡμῶν πρέσβεις πρὸς Κύριον.

*Θεοτοκίον.*

Ὑψηλὸν ἀνάκτορον, Βασιλέως τοῦ τῶν οὐρανῶν, ἐκ λάκκου ἁμαρτιῶν, Δέσποινα ἁγνή, τὸν νοῦν μου ἀνύψωσον, πρὸς ἀναβάσεις τὰς νοητάς, βίου σεμνότητος, ἵνα πίστει μεγαλύνω Σε.

*Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.*

Ἡ ἐν ἀθλήσει θείᾳ, καταβαλοῦσα τὸν ἐχθρόν, Θεσσαλονίκη ὑμνείσθω, ὡς καλλιμάρτυς τοῦ Χριστοῦ, Ὅνπερ ἡμῖν ἱλεοῦται, μαρτυρικῇ παῤῥησίᾳ.

*Θεοτοκίον.*

Ἡ τὸν Θεὸν ἀφράστως, κυήσασα μετὰ σαρκός, Παρθενομῆτορ Μαρία, ῥῦσαι παντοίων πειρασμῶν, τοὺς καταφεύγοντας Κόρ, τῇ Σῇ θερμῇ προστασίᾳ.

*Αἶνοι. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.*

Θεσσαλονίκης τὴν μνήμην πανηγυρίσωμεν, αὕτη γὰρ τὴν πατρῴαν, καταλείψασα πλάνην, προσῆλθε τῷ Σωτῆρι πίστει θερμῇ, καὶ νομίμως ἐνήθλησε, καὶ νῦν ἀπαύστως πρεσβεύει δοῦναι ἡμῖν, τῶν πταισμάτων τὴν συγχώρησιν.

Τὰς ἀπειλὰς τοῦ τοκέως οὐδόλως ἔπτηξας, καὶ ἀλγεινῶν τὴν πεῖραν, ἐνεγκοῦσα ἀνδρείως, σεμνὴ Θεσσαλονίκη γνώμῃ στεῤῥᾷ, τὸν Χριστὸν ὡμολόγησας, ᾧ καὶ προσήχθης θυσία ὡς καθαρά, τὸν ἀγῶνα ἐκτελέσασα.

Τὴν συντριβὴν τῶν πλευρῶν σου καὶ τοὺς ξεσμοὺς τῆς σαρκός, ψυχῇ ἀκαταπλήκτῳ, ὑποστᾶσα Ἁγία, εἰργάσω τῆς ἀπάτης τὴν συντριβήν, τῇ ἀτρέπτῳ ἐνστάσει σου, Θεσσαλονίκη· διό σε ὡς τοῦ Χριστοῦ, Ἀθληφόρον μακαρίζομεν.

Ὁ τρισαυγὴς τῶν Μαρτύρων Ἁγίων ὅμιλος, σὺν τῇ Θεσσαλονίκῃ, Αὖκτός τε καὶ Ταυρίων, ὑμνείσθωσαν συμφώνως ὡς τοῦ ἐχθροῦ, καθελόντες τὸ φρύαγμα, καὶ τῇ Τριάδι πρεσβεύουσι ἐκτενῶς, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δόξα. Ἦχος πλ. α΄.*

Τῇ ἀγάπῃ τοῦ Χριστοῦ, ἐρηρεισμένη Ἁγία, οὐδόλως σεσάλευσαι ταῖς τοῦ ἐχθροῦ ἀντιπνοίαις, καὶ τῶν μελλόντων ἀγαθῶν, προορῶσα τὸ κάλλος, ἄθλοις καλλοποιοῖς σαυτὴν ὡραΐσας, ἐν τῇ τοῦ φθειρομένου σώματος δοκιμασίᾳ, καὶ τὸν δρόμον τελέσασα, λαμπαδηφόρος εἰσῆλθες, εἰς τὸν νυμφῶνα τῆς

ἀφθαρσίας, ὡς νύμφη πεποικιλμένη μυστικῶς. Ἀλλ’ ὦ παρθενομάρτυς Θεσσαλονίκη, τῷ σῷ Νυμφίῳ Χριστῷ πρέσβευε, εὑρεῖν ἡμᾶς ἔλεος, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

*Καὶ νῦν. Θεοτοκίον*

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως, Παρθένε πάνσεμνε, δι' ἧς ὁ λυτρωτής μου Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε, κατ' εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ. Διὸ Πανύμνητε, ὡς μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον.*

Πλάνην καταλείψασα πατρικήν, πίστει ἐπτερώθης, τῇ ἀγάπῃ τῇ τοῦ Χριστοῦ, ὑπὲρ οὗ ἀνδρείᾳ, ἀθλήσασα καρδίᾳ, Θεσσαλονίκη Μάρτυς, λαμπρῶς δεδόξασαι.